# 11-06-2025 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

11-06-2025

† ΕΣΠΕΡΙΝΟΣ ΤΡΙΤΗΣ ΜΕΤΑ ΤΗΝ ΠΕΝΤΗΚΟΣΤΗ

† Μνήμη Τοῦ Ἁγίου Ἐνδόξου καί ΠανευφήμουΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

† Μνήμη τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Λουκᾶ τοῦ ἰατροῦ καὶ ὁμολογητοῦ, Ἀρχιεπισκόπου Συμφερουπόλεως καὶ Κριμαίας τοῦ Ῥώσου.

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

## Ψαλμὸς ργ′ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τὸν τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀναμέσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ' αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος,

ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

ᾌσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἠδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα... Καὶ νῦν...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονής Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ

Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# 11-06-2025 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

Εἰς τό, Κύριε ἐκέκραξα,

ψάλλομεν Στιχηρὰ

Ψαλμὸς ρμ΄ (140)

Ἦχος Πα



υ υ ρι ι ι ι ε

Κα τευ θυν θη η η η η τω η προ σε ευ

χη η η η μου ως θυ μι ι ι α α

μα α α α α ε νω ω ω πι ι ι ο ο ο ον

σου ε παρ σις τω ω ων χει ει ρω ων μου

θυ σι ι α ε σπε ε ρι ι νη η η ει

σα α κου ου ου σο ον μου Κυ υ υ υ ρι

ι ι ι ε

Θου ου Κυ ρι ε φυ λα κην τω στο μα τι

ι μου και θυ υ ραν πε ρι ο χης πε ρι τα χει

λη μου

Μη εκ κλι νης την καρ δι αν μου εις λο
γους πο νη ρι ι ας του προ φα σι ζε σθαι
προ φα α σεις εν α μαρ τι αις

Συν αν θρω ποις ερ γα ζο με νοις την α νο
μι αν και ου μη συν δυ α σω με τα των ε
κλε κτων αυ των

Παι δευ σει με δι και ος εν ε λε ει και
ε λεγ ξει με ε ε λαι ον δε α μαρ τω
λου μη λι πα να τω την κε φα λην μου

Ο τι ε τι και η προ σευ χη μου εν
ταις ευ δο κι αις αυ των κα τε πο θη σαν ε

χο με να α πε τρας οι κρι ται αυ των

Α κου σον ται τα ρη μα τα μου ο τι η

δυν θη σαν ω σει πα χος γης ερ ρα γη ε

πι της γης δι ε σκορ πι σθη τα ο στα αυ

των πα ρα τον α δην

Ο τι προς σε Κυ ρι ε Κυ ρι ε οι ο φθαλ

μοι μου ε πι σοι ηλ πι σα μη αν τα νε λης

την ψυ χην μου

Φυ λα ξον με α πο πα γι ι δος ης συ νε

στη σαν το ο μοι και α πο σκαν δα λων των

ερ γα ζο με ε νων την α νο μι αν


Πε σου ουν ται εν α μφι βλη στρω αυ των οι
α μαρ τω λοι κα τα μο νας ει μι ε γω ε
ως αν πα ρελ θω
Φω νη η μου προς Κυ ρι ον ε κε κρα
ξα φω νη μου προς Κυ υ ρι ον ε δε
η θην
Εκ χε ω ε νω πι ον αυ του την δε η
σι ιν μου την θλι ψιν μου ε νω πι ον αυ του
α παγ γε λω
Εν τω ε κλει ει πει ειν εξ ε μου το
πνευ μα μου και συ ε γνως τας τρι βους μου

Εν ο δω τα αυ τη η η ε πο ρευ

ο ο μην ε κρυ ψαν πα γι δα μοι

Κα τε νο ουν εις τα δε ξι α και ε

πε βλε πον και ουκ η ην ο ε πι γι νω

σκων με

Α πω λε το φυ γη η απ ε μου και ουκ

ε ε στιν ο εκ ζη τω ων την ψυ χην μου

Ε κε κρα ξα προς σε ε Κυ ρι ε ει ει

πα Συ ει η ελ πις μου με ρι ις μου ει

εν γη ζων των

Προ ο σχε ες προς την δε η σι ιν μου ο

ο τι ε ταπει νω θηνσφο δρα

Ρυ σαι με εκ των κα τα δι ω κον των

με, ο ο τι ε κρα ται ω θη σαν υ περ

ε με

Ε ξα γα γε εκ φυ λα κης την ψυ χη ην

μου του ε ξο μο λο γη σα σθαι τω ο

νο μα τι σου

Ε με υ πο με νου σι δι και οι ε

ως ου αν τα πο δως μοι

Εκ βα θε ων ε κε κρα ξα σοι Κυ

ρι ε Κυ ρι ε ει σα κου σον της φω

νης μου

Γεν νη θη τω τα ωτ τα σου προ σε

χον τα εις την φω νη ην της δε η σε ως

μου

Εἶτα ψάλλομεν

Στιχηρὰ Προσόμοια τῆς Ἑορτῆς

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων

Ἦχος Πα

Στίχος. Ε αν α νο μι ας πα ρα τη ρη σης Κυ ρι ε Κυ ρι ε τις υ πο στη η σε ται ο τι πα ρα σοι ο ι λασ μος ε στιν

**Ὡ**ς προσφυὲς ὡς οἰκεῖον, τοῖς λογικοῖς οὐρανοῖς, ἐν πυριμόρφοις γλώσσαις, τοῦ Θεοῦ καταγγέλλειν, τοῖς ἔθνεσι τὴν δόξαν, τοῦ τῷ πυρί, οὐρανοὺς ὡραΐσαντος, καὶ καταυγάσαντος κόσμον τὸν αἰσθητόν, σὺν Υἱῷ τε καὶ τῷ Πνεύματι.

Στίχος. Ε νε κεν του ο νο μα τος σου υ πε μει να σε Κυ ρι ε υ πε

μει νεν η ψυ χη μου εις τον λο γον σου

ηλ πι σεν η ψυ χη μου ε πι τον Κυ ρι ον

Ἐν τῇ Σιὼν συνηγμένων, τῶν Μαθητῶν τοῦ Χριστοῦ, ὡς ἡ ἐπαγγελία, τὸ πανάγιον Πνεῦμα, ἐν τούτοις ἐφιζῆσαν, εἴδει πυρός, πυριπνόους ἀνέδειξεν, ἐκφαντορίαις τὰ δόγματα μυστικαῖς, τῆς Τριάδος ῥητορεύοντας.

Στίχος. Ἀ πο φυ λα κης πρω ι ας

με χρι νυ κτος α πο φυ λα κης πρω ι ας

ελ πι σα τω Ισ ρα ηλ ε πι τον Κυ ρι

ον

Οὐρανοχάλκευτα ξίφη, τοὺς Ἱεροὺς Μαθητάς, τὸ ἱερὸν φοιτῆσαν, ἐκτετέλεκε Πνεῦμα, τῇν γῆν καθιερῶσαι, τῷ ποιητῇ, ἀνιέρους συγκόφαντας, ὡς ἐκλιπεῖν τὰς ῥομφαίας τοῦ πονηροῦ, καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

# 11-06-2025 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

## Στιχηρὰ προσόμοια
## τοῦ Ἁγίου Ἀποστόλου Βαρνάβα
## Ἦχος δ'. Ὁ ἐξ ὑψίστου κληθεὶς τῆς Βασιλείας.

Ἦχος

Στίχος.




Ἀξίως ὄντως Βαρνάβας ἐπεκλήθης, μιστά πανaοίδημε ὑπ' Ἀποστόλων Χριστοῦ, σὺ γὰρ υἱὸς παρακλήσεως, πᾶσιν ἐδείχθης, χρησταῖς ἐλπίσι παραμυθούμενος, Σταυρὸν φόρτον ἄρας τε τὸν ἐλαφρώτατον, ζυγόν τε φέρων χρηστότατον, τῆς ἁμαρτίας ἄχθος ἐξαίροντα τὸ πικρότατον, ὅθεν σὲ πίστει μακαρίζομεν, εὐφημοῦντες ἀεὶ Παμμακάριστε, ὡς Ἀπόστολον μέγαν, παρακλήτου ὡς ἐπώνυμον.

Στίχος. Αἰ νει τε τον Κυ ρι ον παν τα τα ε θνη ε παι νε σα τε αυ το ον παν τες οι λα οι

**Μ**έγα τὸ κλέος τὸ σόν ἐστι Βαρνάβα, ἐπείπερ Αὐτόκλητος Χριστῷ προσέδραμες, πεισθεὶς τοῖς λόγοις καὶ θαύμασι, διὸ προφρόνως, μετὰ τοὺς δώδεκα Χριστὸς ἔταξεν, ἐν τοῖς ἑβδομήκοντα κορυφαιότατον, αὖθις δὲ Πνεῦμα τὸ Ἅγιον, μετὰ τοῦ Παύλου, Ἀπόστολον σὲ ἴδιον ἔφησεν, ἐξαποστεῖλαν προηγούμενον, εἰς τὰ ἔθνη, Χριστῷ ἃ προσήγαγες, προσκυνεῖν ἐκδιδάξας, μίαν φύσιν τρισυπόστατον.

Στίχος. Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η α λη θει α του Κυ ρι ου με νει εις τον αι ω να

Εὐχαριστήριον ὕμνον σοι προσάδει, Πατρίς, ἡ τιμία σου Κύπρος ἀοίδιμε, ὅτι σὺ ταύτην Ἀπόστολε ἐξ οἰκουμένης, πάσης σαὐτῷ εἰς θρόνον ἐστήριξας, καὶ γὰρ Ἀντιόχειαν, σὺ προετοίμασας, καὶ Ῥώμην αὖθις τῷ Σίμωνι, τὴν Ἀλεξάνδρου, Μάρκῳ τῷ πάνυ. Πρώτας τῶν Πόλεων, τὴν δὲ πατρίδα οἰκειωσάμενος, Ἀποστόλων εἰς θρόνον ἀπέδειξας, Βασιλείοις τιμήσας, αὐτεξουσίοις τε γνωρίσμασιν,

## Δόξα... τοῦ Ἁγίου Ἀποστόλου Βαρνάβα

### Ἦχος πλ. α΄ Νη

Δο ο ο ο ξα Πα τρι ι ι ι και

αι Υι υι ω ω ω ω και α γι ι ω ω Πνε

ε ε ε ε ευ μα α α α α Πνε ευ μα τι

Λευ ι τι κης εκ βλα στη η η σας φυ λης

προ φη τι κης τε και ι ι ε ρα α

τι κης ως Μω υ ση ης και αι Σα μου ου ηλ

την νο μι κη ην κα τα Α α ρων ι ε

ρω συ υ νην υ υ πε ρη η η η η λα α α α

σας Χρι στω ω γαρ φοι τη η η η η σας Θε

ω βα σι λει ει και αρ χι ε ε ρει


την της χα ρι τος ι ε ε ρω ω συ υ υ
νη ην μυ ρω νο η τω ω κα α τα α κε ε
ε χρι ι ι ι σαι και α πο ο στοο λος
ε θνων προ ο ο χει ρι σθεις εις την οι κου
με ε νην υ πο του Πνε ευ μα α α το ο
ο ος ε ξα α πε στα α α α λης
την αρ χι ι ε ε ρα τι κην ως ποι μη ην
ε πω ω μι ι ι δα και τον δι κτυ ω το ον
πο ο δη η η η ρη ως ψυ χη η ης
α λι ι ι ευς και το πο λυ τι μον λο ο
γει ει ει ον ως κη ρυξ της χα α ρι ι ι


το ο ο ος α πη ημ φι α α α α
σω α αρ τον ου ρα α νι ι ι ον και
οι οι νο ον σω ω τη η η ρι ι ι ι
ον θυ σι αν α ναι αι μα α κτον προ ο σφε
ε ε ρων κα τα την τα α α α ξιν Με ε ελ χι
σε ε δεκ ο ο ο θεν αν τι ο φου και νε ε φε
ε ε λης την γλωσ σο πυρ σο ο ο μο ορ
φον του Πνευ μα τος χα α ρι ιν δε ε
ξα α α α α α με ε νος ε ξου σι
ι α α αν ει λη η η φας α φι ε ναι α
α α μα αρ τι ι ι ι ι ι ι ι ι ας


φω τι ζων και αι κα α θαι αι αι ρων και α γι
α α ζω ων τα α ας ψυ χα α α α ας η
η η τας ψυ χα ας η η μων

Καὶ νῦν...

Τῆς ἑορτῆς. Ἦχος β'

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα ἐπουράνιον, εὕρομεν Πίστιν ἀληθῆ, ἀδιαίρετον Τριάδα προσκυνοῦντες· αὕτη γὰρ ἡμᾶς ἔσωσε.

Ἦχος Δι




σε ε ε ε εν

Εἴσοδος, Φῶς ἱλαρόν.

Ἦχος Δι




ου ου ζω η η η η η η ην ο ο δι ι
δου ους δι ο ο ο ο ο κο ο σμος
σε ε ε δο ο ξα α α ζει ει

Προκείμενον.

Τῇ Τρίτῃ ἑσπέρας.

Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω

ξει με πα σας τας η με ρας της ζω ης μου (Δὶς)

Στίχ: Κύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Τὸ τρίτον: Το ε λε ος σου Κυ ρι ε κα

τα δι ω ξει με πα σας τας η με ρας της ζω

η ης μου ου ου

Εἶτα τὰ Ἀναγνώσματα.

Καθολικῆς πρώτης Ἐπιστολῆς Πέτρου τὸ Ἀνάγνωσμα.

Ἀγαπητοί, εὐλογητὸς ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ κατὰ τὸ πολὺ αὐτοῦ ἔλεος ἀναγεννήσας ἡμᾶς εἰς ἐλπίδα ζῶσαν δι΄ ἀναστάσεως Ἰησοῦ Χριστοῦ ἐκ νεκρῶν εἰς κληρονομίαν ἄφθαρτον, καὶ ἀμίαντον, καὶ ἀμάραντον, τετηρημένην ἐν Οὐρανοῖς, εἰς ἡμᾶς τοὺς ἐν δυνάμει Θεοῦ φρουρουμένους διὰ πίστεως, εἰς Σωτηρίαν ἑτοίμην ἀποκαλυφθῆναι ἐν καιρῷ ἐσχάτῳ. Ἐν ᾧ ἀγαλλιάσθε, ὀλίγον ἄρτι (εἰ δέον ἐστι) λυπηθέντες ἐν ποικίλοις πειρασμοῖς, ἵνα τὸ δοκίμιον ἡμῶν τῆς πίστεως, πολὺ τιμιώτερον χρυσίου τοῦ ἀπολλυμένου, διὰ πυρὸς δὲ δοκιμαζόμενου, εὑρεθῇ εἰς ἔπαινον, καὶ τιμήν, καὶ δόξαν, ἐν Ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὃν οὐκ εἰδότες ἀγαπᾶτε, εἰς ὃν ἄρτι μὴ ὁρῶντες, πιστεύοντες δέ, ἀγαλλιάσθε χαρᾷ ἀνεκλαλήτῳ καὶ δεδοξασμένῃ, κομιζόμενοι τὸ τέλος τῆς πίστεως ὑμῶν Σωτηρίαν ψυχῶν.

Καθολικῆς πρώτης Ἐπιστολῆς Πέτρου

Ἀγαπητοί, ἀναζωσάμενοι τὰς ὀσφύας τῆς διανοίας ἡμῶν, νήφοντες, τελείως ἐλπίσατε ἐπὶ τὴν φερομένην ὑμῖν χάριν ἐν ἀποκαλύψει Ἰησοῦ Χριστοῦ, ὡς τέκνα ὑπακοῆς, μὴ συσχηματιζόμενοι ταῖς πρότερον ἐν τῇ ἀγνοίᾳ ὑμῶν ἐπιθυμίαις, ἀλλὰ κατὰ τὸν καλέσαντα ἡμᾶς Ἅγιον, καὶ αὐτοὶ Ἅγιοι ἐν πάσῃ ἀναστροφῇ γεννήθητε, διότι γέγραπτε. Ἅγιοι γίνεσθε, ὅτι ἐγὼ Ἅγιός εἰμι. καὶ εἰ πατέρα ἐπικαλεῖσθε τὸν ἀπροσωπολήπτως κρίνοντα κατὰ τὰ ἑκάστου ἔργον, ἐν φόβῳ τὸν τῆς παροικίας ὑμῶν χρόνον ἀναστράφητε, εἰδότες, ὅτι οὐ φθαρτοῖς, ἀργυρίῳ ἢ χρυσίῳ ἐλυτρώθητε ἐκ τῆς ματαίας ὑμῶν ἀναστροφῆς πατροπαράδοτου, ἀλλὰ τιμίῳ αἵματι, ὡς ἀμνοῦ ἀμώμου, καὶ ἀσπίλου Χριστοῦ.

Καθολικῆς Πρώτος Ἐπιστολῆς Πέτρου

Ἀγαπητοί, παρακαλῶ ὑμᾶς ὡς παροίκους καὶ παρεπίδημους, ἀπέχεσθαι τῶν σαρκικῶν ἐπιθυμιῶν, αἵτινες στρατεύονται κατὰ τῆς ψυχῆς, τὴν ἀναστροφὴν ὑμῶν ἐν τοῖς ἔθνεσιν ἔχοντες καλήν, ἵνα ἐν ᾧ καταλαλῶσιν ὑμῶν ὡς κακοποιῶν, ἐκ τῶν καλῶν ἔργων ἐποπτεύσαντες, δοξάσωσι τὸν Θεὸν ἐν ἡμέρᾳ Ἐπισκοπῆς, ὑποτάγητε οὖν πάσῃ ἀνθρωπίνῃ κτίσει διὰ τὸν Κύριον, εἴτε Βασιλεῖ, ὡς ὑπερέχοντι, εἴτε Ἡγεμόσιν, ὡς δι αὐτοῦ πεμπομένοις, εἰς ἐκδίκησιν μὲν κακοποιῶν, ἔπαινον δὲ ἀγαθοποιῶν, ὅτι οὕτως ἐστὶ τὸ θέλημα τοῦ Θεοῦ, ἀγαθοποιοῦντας φιμοῦν τὴν τῶν ἀφρόνων ἀγνωσίαν. Ὡς ἐλεύθεροι, καὶ μὴ ὡς ἐπικάλυμμα ἔχοντες τῆς κακίας τὴν ἐλευθερίαν, ἀλλ᾽ ὡς δοῦλοι Θεοῦ, πάντας τιμήσατε. Τὴν ἀδελφότητα ἀγαπᾶτε. Τὸν Θεὸν φοβεῖσθε. Τὸν Βασιλέα τιμᾶτε. Οἱ οἰκέται ὑποτασσόμενοι ἐν παντὶ φόβῳ τοῖς δεσπόταις, οὐ μόνον τοῖς ἀγαθοῖς καὶ ἐπιεικέσιν, ἀλλὰ καὶ τοῖς σκολιοῖς. Τοῦτο γὰρ χάρις, εἰ διὰ συνείδησιν Θεοῦ ὑποφέρει τις λύπας, πάσχων ἀδίκως, ποῖον γὰρ κλέος, εἰ ἁμαρτάνοντες, καὶ κολαφιζόμενοι ὑπομενεῖτε; Ἀλλ᾽ εἰ

ἀγαθοποιοῦντες καὶ κολαφιζόμενοι ὑπομενεῖτε, τοῦτο χάρις παρὰ Θεῷ, εἰς τοῦτο γὰρ ἐκλήθητε ὅτι καὶ Χριστὸς ἔπαθεν ὑπὲρ ὑμῶν, ὑμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ. Ὃς ἁμαρτίαν οὐκ ἐποίησεν οὐδὲ εὑρέθη δόλος ἐν τῷ στόματι αὐτοῦ. Ὃς λοιδορούμενος, οὐκ ἀντελοιδόρει, πάσχων οὐκ ἠπείλει, παρεδίδου δὲ τῷ κρίνοντι δικαίως. Ὃς τὰς ἁμαρτίας ἡμῶν αὐτὸς ἀνήνεγκεν ἐν τῷ σώματι αὐτοῦ ἐπὶ τὸ ξύλον, ἵνα ταῖς ἁμαρτίαις ἀπογενόμενοι, τῇ δικαιοσύνῃ ζήσωμεν.

Εἴπωμεν πάντες ἐξ ὅλης τῆς ψυχῆς καὶ ἐξ ὅλης τῆς διανοίας ἡμῶν εἴπωμεν.

Κύριε, ἐλέησον (ἅπαξ).

Κύριε παντοκράτορ ὁ Θεός τῶν πατέρων ἡμῶν, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἅπαξ).

Ἐλέησον ἡμᾶς ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, δεόμεθά Σου, ἐπάκουσον καὶ ἐλέησον.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν (δεῖνος).

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν ἀδελφῶν ἡμῶν, τῶν ἱερέων, ἱερομονάχων, ἱεροδιακόνων καὶ μοναχῶν, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ ἐλέους, ζωῆς, εἰρήνης, ὑγείας, σωτηρίας, ἐπισκέψεως, συγχωρήσεως καὶ ἀφέσεως τῶν ἁμαρτιῶν τῶν δούλων τοῦ Θεοῦ, πάντων τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τῶν κατοικούντων καὶ παρεπιδημούντων ἐν τῇ (κώμῃ, πόλει) ταύτῃ, τῶν ἐνοριτῶν, ἐπιτρόπων, συνδρομητῶν καὶ

ἀφιερωτῶν τοῦ ἁγίου ναοῦ τούτου.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν μακαρίων καὶ ἀοιδίμων κτιτόρων τῆς ἁγίας Ἐκκλησίας ταύτης, καὶ ὑπὲρ πάντων τῶν προαναπαυσαμένων πατέρων καὶ ἀδελφῶν ἡμῶν, τῶν ἐνθάδε εὐσεβῶς, κειμένων, καὶ ἁπανταχοῦ ὀρθοδόξων.

Κύριε, ἐλέησον (ἐκ τρίτου).

Ἔτι δεόμεθα ὑπὲρ τῶν καρποφορούντων καὶ καλλιεργούντων ἐν τῷ ἁγίῳ καὶ πανσέπτῳ ναῷ τούτῳ, κοπιώντων, ψαλλόντων καὶ ὑπὲρ τοῦ περιεστῶτος λαοῦ, τοῦ ἀπεκδεχομένου τὸ παρὰ Σοῦ μέγα καὶ πλούσιον ἔλεος.

Κύριε, ἐλέησον (ἅπαξ).

Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Προεστὼς ἢ ὁ Ἀναγνώστης:

Ἀμήν. Καταξίωσον, Κύριε, ἐν τῇ ἑσπέρᾳ ταύτῃ, ἀναμαρτήτους φυλαχθῆναι ἡμᾶς. Εὐλογητὸς εἶ, Κύριε, ὁ Θεὸς τῶν Πατέρων ἡμῶν, καὶ αἰνετὸν καὶ δεδοξασμένον τὸ ὄνομά σου εἰς τοὺς αἰῶνας. Ἀμήν. Γένοιτο, Κύριε, τὸ ἔλεός

σου ἐφ' ἡμᾶς, καθάπερ ἠλπίσαμεν ἐπὶ σέ. Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Δέσποτα, συνέτισόν με τὰ δικαιώματά σου. Εὐλογητὸς εἶ, Ἅγιε, φώτισόν με τοῖς δικαιώμασί σου. Κύριε, τὸ ἔλεός σου εἰς τὸν αἰῶνα, τὰ ἔργα τῶν χειρῶν σου μὴ παρίδῃς. Σοὶ πρέπει αἶνος, σοὶ πρέπει ὕμνος, σοὶ δόξα πρέπει, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ὁ Διάκονος:

Πληρώσωμεν τὴν ἑσπερινὴν δέησιν ἡμῶν τῷ Κυρίῳ.

Κύριε, ἐλέησον.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ Σῇ χάριτι.

Κύριε, ἐλέησον.

Τὴν ἑσπέραν πᾶσαν, τελείαν, ἁγίαν, εἰρηνικὴν καὶ ἀναμάρτητον, παρά τοῦ Κυρίου, αἰτησώμεθα.

Παράσχου Κύριε.

Ἄγγελον εἰρήνης, πιστὸν ὁδηγόν, φύλακα τῶν ψυχῶν καὶ τῶν σωμάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Συγγνώμην καὶ ἄφεσιν τῶν ἁμαρτιῶν καὶ τῶν πλημμελημάτων ἡμῶν, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὰ καλὰ καὶ συμφέροντα ταῖς ψυχαῖς ἡμῶν καὶ εἰρήνην τῷ κόσμῳ, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Τὸν ὑπόλοιπον χρόνον τῆς ζωῆς ἡμῶν ἐν εἰρήνῃ καὶ μετανοίᾳ ἐκτελέσαι, παρά τοῦ Κυρίου αἰτησώμεθα.

Παράσχου Κύριε.

Χριστιανὰ τὰ τέλη τῆς ζωῆς ἡμῶν, ἀνώδυνα, ἀνεπαίσχυντα, εἰρηνικά, καὶ καλὴν ἀπολογίαν τὴν ἐπὶ τοῦ φοβεροῦ βήματος τοῦ Χριστοῦ αἰτησώμεθα.

Παράσχου Κύριε.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Σοὶ, Κύριε.

Ὅτι ἀγαθὸς καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

Εἰρήνη πᾶσι.

Καὶ τῷ πνεύματί σου.

Τὰς κεφαλὰς ἡμῶν τῷ Κυρίῳ κλίνωμεν.

Σοὶ, Κύριε.

Κύριε, ὁ Θεὸς ἡμῶν, ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς ἐπὶ σωτηρίᾳ τοῦ γένους τῶν ἀνθρώπων, ἔπιδε ἐπὶ τοὺς δούλους σου καὶ ἐπὶ τὴν κληρονομίαν σου. Σοὶ γὰρ τῷ φοβερῷ καὶ φιλανθρώπῳ κριτῇ, οἱ σοὶ δοῦλοι ὑπέκλιναν τὰς κεφαλάς, τοὺς δὲ αὐτῶν ὑπέταξαν αὐχένας; οὐ τὴν ἐξ ἀνθρώπων ἀναμένοντες βοήθειαν, ἀλλὰ τὸ σὸν περιμένοντες ἔλεος, καὶ τὴν σὴν ἀπεκδεχόμενοι σωτηρίαν, οὓς διαφύλαξον ἐν παντὶ καιρῷ, καὶ κατὰ τὴν παροῦσαν ἑσπέραν καὶ τὴν προσιοῦσαν νύκτα, ἀπὸ παντὸς ἐχθροῦ, ἀπὸ πάσης ἀντικειμένης ἐνεργίας διαβολικῆς, καὶ διαλογισμῶν ματαίων καὶ ἐνθυμήσεων πονηρῶν.

Εἴη τὸ κράτος τῆς βασιλείας σου εὐλογημένον καὶ δεδοξασμένον, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Χορός: Ἀμήν.

## Ἰδιόμελον τῆς Λιτῆς

### Ἦχος Δι

Βαρ να α βα α α πα νε ε ευ
φη με ο των Κυ πρι ων θει ει ος βλα α
στο ο ος και με ε γα κα α α α αυ χη η
η η μα ο των ε βδο μη κον τα α πο
στο ο λω ω ων κο ο ο ο ρυ φαι αι ος
και των δω δε ε εκα ι σο στα α α α
σι ι ι ος ο την σην πα τρι δα τι μη


σας ει εις ϑρο ο ο νον πα νεν δο ξε τοις βα
σι λει οις χα ρι ι σμα α α σι και αυ
τε ξου σι ι ι ι οις γνω ρι ι ι σμα α α
α σιν ο και ϑει ας πι στε ε ε ως πε πλη
ρω με ε ε νο ος υ πα α α αρ χων πρε ε
σβε ε ευ ε Χρι στω τω σω δι δα σκα α
λω και αι Θε ε ω σω ϑη η ναι τα ας
ψυ υ χα α ας η η η η μων

# 11-06-2025 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

Πλαγίου Τετάρτου.

Ἦχος Νη



Πα ρασχου Κυ ρι ε

Υ περ α γι α Θε ο το κε σω σον η μας

Σοι οι οι οι οι οι οι οι οι οι Κυ υ υ υ ρι ε

Α μην

Ἦχος πλ. δ' Ἐναρμόνιος

Κυ ρι ε ε ε λε ε η σον

Κυ ρι ε ε λε η σον

Κυ υ ρι ε ε λε η η σον

Κυ ρι ε ε ε λε ε η η σον


Κυ ρι ε ε λε ε ε η σον
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ υ ρι ε
Πα ρα σχου Κυ ρι ε

## Εἰς τὴν Ἀρτοκλασίαν.

### Ἐπιλογές παρά διαφόρων Διδασκάλων



# 11-06-2025 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

## Θεοτόκε Παρθένε.

Ἦχος Κε




ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Τὸ τέλος τοῦ τρὶτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

## Εἶτα τὸ Ἀναστάσιμον Σπιχηρόν
## (Διὰ τὴν ἀπόδοση τοῦ Ἤχου.)

### Ἦχος Πα



Στιχηρὰ Προσόμοια. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Στίχος. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίροις Ἀποστολὴν τῶν ἐθνῶν, ἐμπιστευθεὶς ὑπὸ τοῦ Πνεύματος ἔνδοξε, Βαρνάβα τῆς οἰκουμένης, ἀκτινοβόλος φωστήρ, Ἐκκλησίας βάσις ἀπερίτρεπτος, ὁ κῆρυξ τῆς χάριτος, εὐσέβειας Διδάσκαλος, πίστεως στῦλος γεγονώς, Προφητείας τε, ἐνδιαίτημα καθαρὸν καὶ Σεβάσμιον, Παύλου ὁ προηγούμενος, τῆς Κύπρου τὸ καύχημα, τῶν ἑβδομήκοντα πρῶτος, τῶν δώδεκα ἰσοστάσιος, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ.: Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν...

Χαίροις ὁ πάλαι μὲν Ἰωσῆ, προσηγορίαν κληρωσάμενος ἔνδοξε, τανῦν δὲ τῶν ἀρετῶν σου περιουσίᾳ πολλῇ, τὴν ἐπωνυμίαν ἀμειψάμενος, υἱὲ παρακλήσεως, Παρακλήτου ἐπώνυμε, ἐκ τοῦ Πατρὸς μὲν προρισθεὶς εἰς Ἀπόστολον, ὑπὸ υἱοῦ τε καὶ Ἁγίου Πνεύματος, σκεῦος ἁγνὸν τῆς χάριτος, ὁ Πίστεως ἔμπλεως, καὶ χαρισμάτων παντοίων, ὡς ἀγαθὸς μαρτυρούμενος, Χριστὸν ἐκδυσώπει ταῖς ψυχαῖς ἡμῶν δοθῆναι τὸ μέγα ἔλεος.

Στίχ.: Οἱ Οὐρανοὶ διηγοῦνται Δόξαν Θεοῦ...

Χαίροις Ἀντιοχέων λαμπτήρ, Χριστιανῶν ἐπωνυμίαν ἐνθέμενος, καὶ Ῥώμην πρῶτος φωτίσας, Εὐαγγελίου αὐγαῖς, καὶ τῆς Ἰταλίας τὸ περίγειον, θαυμάτων πυρσεύμασι καταπλήξας τὰ πέρατα, Μεδιολάνων προεδρεύσας ἐν χάριτι, καὶ τὴν μέλαιναν ἐκδιώξας ἀσέβειαν, αὖθις εἰς Ἀλεξάνδρειαν, Εὐρώπην ἐπέδραμες, Κύπρον σὴν πάλιν πατρίδα, ἀρχὴν καὶ τέλος σοῖς αἵμασι, καὶ λόγοις κοσμήσας νῦν πρεσβεύεις πρὸς τὸν κτίστην ἐλεηθῆναι ἡμᾶς.

## Δόξα. Ἦχος πλ. δ΄.

Ἦχος Νη




Ἔχει μὲν ἡ θειοτάτη σου ψυχὴ καὶ ἄμωμος, Βαρνάβα ἰσάγγελε, τὴν ἄνω Ἱερουσαλὴμ Πατρίδα Οὐράνιον, ἔχει δὲ καὶ τὸ πολύαθλόν σου σῶμα, τὴν θεοδίδακτόν σου Κύπρον Πατρίδα ἐπίγιον. Ἄνω μὲν τὸ Πνεῦμα παρὰ τῷ θρόνῳ τοῦ ἀοράτου Θεοῦ, μετ᾽ ἀγγέλλων συναγάλλεται, τῇ τερπνοτάτῃ θέᾳ τῆς ἀπροσίτου δόξης, ἐντρυφῶν τῆς θεότητος, καὶ τῆς ὁμοουσίου Τριάδος τῇ ἑνώσει θεούμενον, κάτω δὲ ἡ σωρὸς τῶν τιμίων Λειψάνων σου, ἰαμάτων πηγὴ ἀναδείκνυται. Ἐπὶ πολὺ δὲ διαρκέσασα, διὰ τὰς πυκνὰς ἐνεργείας, τόπος Ἰάσεων ἐπικαλεῖται, διὸ δὴ καὶ νῦν ἡμῖν ἀοράτως συνών, ἐκ τῆς Οὐρανίου περιοπῆς. ἐν Θεῷ τε ἐπισκεπτόμενος ἡμᾶς, ἀποσόβησον ἀφ᾽

ἡμῶν ὡς φιλόστοργος, πᾶσαν ὀργὴν ἐπερχομένην διὰ τὰς ἀνομίας ἡμῶν, λιμοῦ λοιμοῦ τε καὶ σεισμοῦ, ἀκρίδος, ὁμίχλης, πυρός τε καὶ χαλάζης, πολέμων ἐπιδρομὰς καὶ αἰφνίδιον θάνατον, καὶ πᾶσαν ἐπιβουλὴν τοῦ διαβόλου, αἰτούμενος ἡμῖν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

Και νυ υ υ υν και α α ει και εις τους
αι ω νας των αι ω ω ω νων α α μην

Εν τοις Προ φη ταις α νηγ γει ει λας η μιν
ο δο ον σω ω ω τη ρι ι ας και εν Α
πο στο λοις ε λαμ ψε Σω ω ω τηρ η η μων
η χα α ρις του ου ου Πνε ε ευ μα α το ο ος
σου συ ει Θε ο ος πρω ω ω τος συ ει και
με τα α τα α αυ τα και εις τους αι ω ω
ω να ας συ ει ει ει ει ο ο Θε ε ο ο
ος η η η η μω ω ω ω ων

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τὸν δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ὁ ἱερεὺς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

Ἀπολυτίκια.

# 11-06-2025 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

## Ἀπολυτίκιον τοῦ Ἀποστόλου Ἦχος γ'



## Ἕτερον Ἀπολυτίκιον Ἀποστόλου Βαρνάβα.

Ἦχος Πα

Δο ξα Πα τρι και Υἱ ω και α γι ω

Πνευ μα τι

Το με γα κλε ος της Κυ πρου της οι κου

με νης τον κη ρυ κα των Α ντι ο χε ων

τον πρω ω τον της χρι στω νυ μου κλη η σε ως αρ

χι τε κτο να της Ρω μης τον κλει νον ει ση

γη την και θει ον των ε θνων σα γη νευ την

το της χα ρι τος δο χει ον του Πα ρα κλη

του Πνε ευ μα τος τον ε πω νυ μον Α πο

στο λον τον με γαν τον του θει ου Παυ λου συ νεκ

δη μον των ε βδο μη κον τα πρω τον των

δω ω δε κα ι σο στα σι ον παν τες συ νελ

θον τες σε πτω ως οι πι στοι τον Βαρ να βαν

α σμα σι στε ψω μεν πρε σβευ ει γαρ Κυ ρι

ι ω ε λε η θη ναι τας ψυ χα ας η η μων

# 11-06-2025 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΑΠΟΣΤΟΛΟΥ ΒΑΡΝΑΒΑ

## Ἀπολυτίκιον τῆς ἑορτῆς.

Ἦχος πλ. α' Γα



ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν.

Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν καὶ ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν..., Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἀναστὰς ἐκ νεκρῶν Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ταῖς πρεσβείαις τῆς παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ

Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τῶν Ἁγίων, ἐλεῆσαι καὶ σῶσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

ΙΕΡΕΥΣ: Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας, καὶ τοῖς ἐν τοῖς μνήμασι, ζωὴν χαρισάμενος.

Ὁ Χορός: Ἀληθῶς ἀνέστη ὁ Κύριος.

Ἡ Μεταφορὰ Κειμένων – Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελωδός»
τοῦ πατρός Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.